5 αὐτοὶ ἠργάζοντο, [5]καὶ εἶπαν πρὸς Μωυσῆν ὅτι Πλῆθος φέρει ὁ λα-
6 ὸς παρὰ τὰ ἔργα, ὅσα συνέταξεν κύριος ποιῆσαι. [6]καὶ προσέταξεν
Μωυσῆς καὶ ἐκήρυξεν ἐν τῇ παρεμβολῇ λέγων Ἀνὴρ καὶ γυνὴ μη-
κέτι ἐργαζέσθωσαν εἰς τὰς ἀπαρχὰς τοῦ ἁγίου· καὶ ἐκωλύθη ὁ
7 λαὸς ἔτι προσφέρειν. [7]καὶ τὰ ἔργα ἦν αὐτοῖς ἱκανὰ εἰς τὴν κατα-
σκευὴν ποιῆσαι, καὶ προσκατέλιπον.

8 [8]Καὶ ἐποίησεν πᾶς σοφὸς ἐν τοῖς ἐργαζομένοις τὰς στολὰς τῶν
ἁγίων, αἵ εἰσιν Ααρων τῷ ἱερεῖ, καθὰ συνέταξεν κύριος τῷ Μωυ-
9 σῇ. [9]καὶ ἐποίησαν τὴν ἐπωμίδα ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορ-
10 φύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης. [10]καὶ
ἐτμήθη τὰ πέταλα τοῦ χρυσίου τρίχες ὥστε συνυφᾶναι σὺν τῇ
ὑακίνθῳ καὶ τῇ πορφύρᾳ καὶ σὺν τῷ κοκκίνῳ τῷ διανενησμένῳ
11 καὶ σὺν τῇ βύσσῳ τῇ κεκλωσμένῃ ἔργον ὑφαντόν· [11]ἐποίησαν
12 αὐτὸ ἐπωμίδας συνεχούσας ἐξ ἀμφοτέρων τῶν μερῶν, [12]ἔργον
ὑφαντὸν εἰς ἄλληλα συμπεπλεγμένον καθ᾽ ἑαυτὸ ἐξ αὐτοῦ ἐποίη-
σαν κατὰ τὴν αὐτοῦ ποίησιν ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύ-
ρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης, καθὰ
13 συνέταξεν κύριος τῷ Μωυσῇ. [13]καὶ ἐποίησαν ἀμφοτέρους τοὺς
λίθους τῆς σμαράγδου συμπεπορπημένους παὶ περισεσιαλωμένους
χρυσίῳ, γεγλυμμένους καὶ ἐκκεκολαμμένους ἐκκόλαμμα σφραγῖδος
14 ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ισραηλ· [14]καὶ ἐπέθηκεν αὐτοὺς ἐπὶ
τοὺς ὤμους τῆς ἐπωμίδος, λίθους μνημοσύνου τῶν υἱῶν Ισραηλ,
καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ.

15 [15]Καὶ ἐποίησαν λογεῖον, ἔργον ὑφαντὸν ποικιλίᾳ κατὰ τὸ ἔργον
τῆς ἐπωμίδος ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκί-
16 νου διανενησμένου καὶ βύσσου κεκλωσμένης· [16]τετράγωνον δι-
πλοῦν ἐποίησαν τὸ λογεῖον, σπιθαμῆς τὸ μῆκος καὶ σπιθαμῆς τὸ
17 εὖρος, διπλοῦν. [17]καὶ συνυφάνθη ἐν αὐτῷ ὕφασμα κατάλιθον τε-
τράστιχον· στίχος λίθων σάρδιον καὶ τοπάζιον καὶ σμάραγδος, ὁ
18 στίχος ὁ εἷς· [18]καὶ ὁ στίχος ὁ δεύτερος ἄνθραξ καὶ σάπφειρος
19 καὶ ἴασπις· [19]καὶ ὁ στίχος ὁ τρίτος λιγύριον καὶ ἀχάτης καὶ ἀμέ-
20 θυστος· [20]καὶ ὁ στίχος ὁ τέταρτος χρυσόλιθος καὶ βηρύλλιον καὶ
21 ὀνύχιον· περικεκυκλωμένα χρυσίῳ καὶ συνδεδεμένα χρυσίῳ. [21]καὶ
οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ισραηλ δώδεκα ἐκ τῶν

4 αυτοι ηργαζ.] tr. B† || 5 ειπεν B† | οτι] pr. λεγοντες A (in *O* sub ※) | παρα] κατα B† || 7 ην αυτοις/ικανα] tr. A || 8 (= 𝔐 $8^1 + 39\ 1^2$) εποιησαν A† | σοφος] + τη διανοια A(†) || 9—38 = 𝔐 39 2—31 || 9 εποιησεν B† || 10 συν $2^0$ > B | τω διανεν. > B*† || 11 μερων] + αυτου A || 12 αλληλας $B^c$ | συνπεπλεγμενα B | κατα την αυτου ποιησιν > B*A† || 13 χρυσιω γεγλυμμ. > B*† | και εκκεκολ. > A* || 15 εποιησεν το λογ. A | ποικιλιας A || 16 μηκος et ευρος] + αυτου A || 20 χρυσολιθον B† | χρυσιω ult.] pr. εν A || 21 εκ των ονομ. $2^0$] κατα τα ονοματα A